The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following thirty-six representative MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. Only 328, 394, 959, 986, 1247, 1892 and 2080 have a variant.

# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ[1]

*[Greeting]*

1 Παυλος, δεσμιος Ιησου Χριστου, και Τιμοθεος ὁ αδελφος, Φιλημονι τω αγαπητω και
συνεργω ἡμων, 2 και Απφια τη αγαπητη και Αρχιππω τω συστρατιωτη ἡμων, και τη κατ’
οικον σου εκκλησια: 3 Χαρις ὑμιν και ειρηνη απο Θεου Πατρος ἡμων και Κυριου Ιησου
Χριστου.

*[Paul commends Philemon]*

4 Ευχαριστω τω Θεω μου παντοτε μνειαν σου ποιουμενος επι των προσευχων μου,
5 ακουων σου την αγαπην και την πιστιν ἣν εχεις προς τον Κυριον Ιησουν, και εις παντας
τους ἁγιους, 6 ὁπως ἡ κοινωνια της πιστεως σου ενεργης γενηται εν επιγνωσει παντος[2]
αγαθου του εν ὑμιν εις Χριστον Ιησουν· 7 χαριν γαρ εχομεν πολλην και παρακλησιν επι τη
αγαπη σου, οτι τα σπλαγχνα των ἁγιων αναπεπαυται δια σου, αδελφε.

*[Paul intercedes for Onesimus]*

8 Διο, πολλην εν Χριστω παρρησιαν εχων επιτασσειν σοι το ανηκον,[3] 9 δια την
αγαπην μαλλον παρακαλω—τοιουτος ων ὡς Παυλος πρεσβυτης, νυνι δε και δεσμιος Ιησου
Χριστου. 10 Παρακαλω σε περι του εμου τεκνου, ὃν εγεννησα εν τοις δεσμοις μου, Ονησιμον
11—τον ποτε σοι αχρηστον, νυνι δε σοι και εμοι ευχρηστον—ὃν ανεπεμψα.

12 Συ δε αυτον, τουτ’ εστιν τα εμα σπλαγχνα, προσλαβου 13—ὃν εγω εβουλομην προς
εμαυτον κατεχειν, ἱνα ὑπερ σου διακονη μοι, εν τοις δεσμοις του ευαγγελιου, 14 χωρις δε
της σης γνωμης ουδεν ηθελησα ποιησαι, ἱνα μη ὡς κατα αναγκην το αγαθον σου ᾖ, αλλα κατα
ἑκουσιον. 15 Ταχα γαρ δια τουτο εχωρισθη[4] προς ὡραν, ἱνα αιωνιον αυτον απεχης
16—ουκετι ὡς δουλον, αλλ’ ὑπερ δουλον, αδελφον αγαπητον, μαλιστα εμοι, ποσω δε μαλλον
σοι, και εν σαρκι και εν Κυριω.

*[Paul asks for obedience]*

17 Ει ουν με εχεις κοινωνον, προσλαβου αυτον ὡς εμε. 18 Ει δε τι ηδικησεν σε[5] ἠ
οφειλει, τουτο εμοι ελλογει. 19 Εγω, Παυλος, εγραψα τη εμη χειρι, “Εγω αποτισω” (ἱνα μη
λεγω σοι ὁτι και σεαυτον μοι[6] προσοφειλεις!). 20 Ναι αδελφε, εγω σου οναιμην εν Κυριω·
αναπαυσον μου τα σπλαγχνα εν Κυριω.

21 Πεποιθως τη ὑπακοη[7] σου εγραψα σοι, ειδως ὁτι και ὑπερ ὃ λεγω ποιησεις.
22 Ἁμα δε και ἑτοιμαζε μοι ξενιαν, ελπιζω γαρ ὁτι δια των προσευχων ὑμων χαρισθησομαι
ὑμιν.

*[Farewell]*

23 Ασπαζονται σε Επαφρας ὁ συναιχμαλωτος μου εν Χριστω Ιησου, 24 Μαρκος,
Αρισταρχος, Δημας,[8] Λουκας, οἱ συνεργοι μου.

25 Ἡ χαρις του Κυριου ἡμων Ιησου[9] μετα του πνευματος ὑμων. Αμην.[10,1]

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] παντος || 1 εργου 1247
[3] ανηκον || ανοικον 959
[4] εχωρισθη || εχωρισθην 328
[5] σε || --- 986
[6] μοι || --- 394
[7] υπακοη || υποκοη 959
[8] δημας || --- 986
[9] ιησου || 1 χριστου [80%] 2080
[10] αμην || --- [2%] 1892

[1] The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com.